# 0345-0407 - Iohannes Chrysostomus - In laudem conceptionis sancti Joannis Baptistae

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 132 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In laudem conceptionis sancti Joannis Baptistae

[00001] Ἐγκώμιον εἰς τὴν σύλληψιν τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου Προδρόμου καὶ Βαπτιστοῦ.

50.787

[00002] αʹ.

[00003] Μωϋσῆς ὁ μέγας, ὁ τοῦ Θεοῦ θεράπων, τὸ κεφάλαιον τῶν προφητῶν, ὁ τῆς θαλάσσης ὁδοιπόρος, ὁ τοῦ ἀέρος ἡνίοχος, ὁ τοῦ μάννα τραπεζοποιὸς, ὁ τοῦ Θεοῦ νομοθέτης, ὁ τὰς πλάκας τὰς ἱερὰς δεξάμενος, ὁ πρῶτος εἰσηγητὴς τῶν συμφερόντων τῷ βίῳ, οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος σκηνὴν τῷ λαῷ Ἰσραὴλ κατεσκεύασε, καθ' ὃν ἐν τῷ ὄρει παρὰ Θεοῦ ἐδιδάχθη τύπον.

[00004] Καὶ πάντα μὲν ἅγιά τε καὶ ἱερὰ τὰ καθ' ἕκαστον ἐποίησεν, ὅσα τῷ περισχοινίσματι κατὰ τὸ ἐντὸς περιείληπτο·

[00005] τὸ δὲ ἐνδότατον τούτοις ἄδυτόν τε καὶ ἀνεπίβατον ἦν, Ἅγιον ἁγίων

[00006] [50.788] λεγόμενον.

[00007] Τούτῳ τῷ παραδείγματι τῆς σκηνῆς καὶ Σολομὼν ᾠκοδόμησε ναὸν, οὐχὶ τῇ πολυτελείᾳ τῆς ὕλης μόνον, οὐδὲ τῇ ποικιλίᾳ τῆς τέχνης, ἀλλὰ καὶ τῷ σχήματι τῆς οἰκοδομῆς πάντας τοὺς ἐπὶ γῆς ναοὺς ἀποκρύπτοντα·

[00008] ὥστε αὐτοὺς μηδέποτε εἰς ἐπιθυμίαν ἐλθεῖν τῶν παρὰ Αἰγυπτίοις.

[00009] Καὶ ποιεῖ τὸν ναὸν πρὸς τὴν εἰκόνα τοῦ κόσμου παντὸς, τοῦ τε αἰσθητοῦ καὶ τοῦ νοητοῦ.

[00010] Καθάπερ γάρ ἐστι γῆ καὶ οὐρανὸς, καὶ μέσον διάφραγμα τὸ στερέωμα τοῦτο·

[00011] οὕτω κἀκεῖνον ἐκέλευσε γενέσθαι ὁ Θεὸς, καὶ εἰς δύο διατεμὼν τὸν ναὸν τοῦτον, καὶ καταπέτασμα ἀφεὶς μέσον, τὸ μὲν ἔξω τοῦ καταπετάσματος πᾶσι συνεχώρησεν εἶναι βατὸν, τὸ δὲ ἔνδον, ἄβατον πᾶσι καὶ ἀθέατον, πλὴν τοῦ ἀρχιερέως μόνου, ὡς ὁ ἄγγελος ἐν [50.789] ετείλατο, λαλήσας τῷ Μωϋσῇ, εἰπεῖν τοῖς υἱοῖς Ἰσραήλ·

[00012] Ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ δεκάτῃ τοῦ μηνὸς, ταπεινώσατε τὰς ψυχὰς ὑμῶν·

[00013] τοῦτ' ἔστι, περὶ τῆς σκηνοπηγίας·

[00014] τότε γὰρ ἐν τῇ σκηνοπηγίᾳ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς εἰσῄει εἰς τὰ Ἅγια τῶν ἁγίων θυμιᾷν.

[00015] Ἐν ταύτῃ οὖν τῇ ἑορτῇ τῆς σκηνοπηγίας εἰσῆλθε καὶ ὁ Ζαχαρίας θυμιᾶσαι κατὰ τὴν ἐφημερίαν αὐτοῦ, καὶ εἶδε τὸν ἄγγελον ἑστῶτα ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος·

[00016] Καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν·

[00017] εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος·

[00018] Μὴ φοβοῦ, Ζαχαρία·

[00019] διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·

[00020] καὶ ἔσται σοι χαρὰ καὶ ἀγαλλίασις·

[00021] καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται.

[00022] Ἔσται γὰρ μέγας ἐναντίον Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ πίεται, καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ.

[00023] Καὶ αὐτὸς προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.

[00024] Εἶδες ἐπαγγελίαν, προφητικὴν ὑπερβαίνουσαν δύναμιν;

[00025] Αὕτη ἡ προφητεία τοῦ Ζαχαρίου ἔδησε καὶ ἔλυσε τὴν γλῶτταν·

[00026] ἔδησε γὰρ, ἀπιστηθέντος τοῦ τόκου·

[00027] ἔλυσε δὲ αὐτὴν, γενομένου τοῦ τόκου.

[00028] Ὢ τοῦ θαύματος! Ἰωάννης ἐκ κοιλίας εὐαγγελιστὴς, ἐκ γαστρὸς θαυματουργὸς, τῆς ἐρημίας σύντροφος, καὶ τῶν ἀγγέλων ὁμοδίαιτος, ὁ μετὰ τὸν νόμον ἐν προφήταις, δεύτερος Ἠλίας, καὶ ἀληθέστατος κήρυξ, τῷ ζήλῳ τοῦ Πνεύματος τὴν πλάνην ἐξελαύνων, ὁ πρόδρομος καὶ βαπτιστὴς, ὁ λέγων·

[00029] Μετανοεῖτε·

[00030] ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·

[00031] ὁ τοῦ Ζαχαρίου υἱὸς, καὶ τῆς στείρας τὸ βλάστημα, καὶ τῶν εὐχῶν τοῦ λαοῦ τέλειον αὐτούργημα·

[00032] ὁ τῆς μετανοίας γνήσιος εἰσηγητὴς, καὶ πιστῶν συνήγορος ἐξομολογουμένων·

[00033] ὁ τοῦ νόμου πλήρωμα, καὶ τῆς χάριτος ἀρχηγὸς, καὶ τῆς ἀσεβείας τῶν Ἰουδαίων ἔλεγχος·

[00034] ὁ τῶν ἐπουρανίων δογμάτων βεβαιωτὴς, καὶ κριτὴς ἀδέκαστος τῶν τοῦ λαοῦ πταισμάτων·

[00035] ὁ ἐκ στείρας ἀγόνου παρ' ἐλπίδα τεχθεὶς, καὶ χάριτι τοῦ ἐκ τῆς πέτρας ὕδωρ ἐξαγαγόντος Χριστοῦ νυμφαγωγός·

[00036] ὁ τῶν Ἰορδανείων ῥείθρων χαλιναγωγὸς, καὶ τῆς τῶν ἁμαρτωλῶν καθάρσεως πρεσβευτής·

[00037] ὁ τοῦ ἀκαταλήπτου μυστηρίου προγνώστης, καὶ τῆς τοῦ ἀοράτου παρουσίας προφήτης·

[00038] οὗτός ἐστιν Ἰωάννης ὁ κατ' ἐπαγγελίαν τεχθεὶς τῷ Ζαχαρίᾳ ἐν γήρᾳ βαθυτάτῳ.

[00039] Ὢ τοῦ θαύματος! ἰδοὺ γὰρ ἐπὶ τῶν ἔργων ἐδείχθη τὰ ἐν γαστρὶ τοῦ Ἰωάννου σκιρτήματα, ἃ ἐμήνυσεν.

[00040] Εἶδεν ὁ κόσμος τὴν ἀγαλλίασιν, ἣν ἐν τῇ νηδύϊ ὁ πρόδρομος τοῖς ποσὶν ἐζωγράφησεν.

[00041] Ἀλλὰ ποίαν ἡμεῖς τῷ δικαίῳ τὴν τιμὴν ἀποτίσωμεν, κυκλούμενοι πανταχόθεν τοῖς αὐτοῦ κατορθώμασιν;

[00042] Εὐαγγελίζεται γὰρ κυοφορούμενος, θαυματουργεῖ τικτόμενος, προκόπτει ἐν ταῖς ἐρήμοις ἀσκούμενος, τρέφεται τῷ Πνεύματι προαγόμενος, μεσιτεύει νόμῳ καὶ χάριτι, κηρύττει μετανοίας βάπτισμα, βαπτίζει τὸν Δεσπότην παραγενόμενον, θεωρεῖ βαπτίζων τῆς Τριάδος τὴν δόξαν, καὶ τὴν χάριν μαρτυρεῖ τῇ ἀληθείᾳ, βοῶν ὑποδείκνυσι τὸν προφητευθέντα, Δεσπότην ὁμολογῶν, καὶ αὐτοῦ ἰσχυρότερον·

[00043] ὁδηγεῖ πρὸς αὐτὸν τοὺς πιστεύοντας, ἐκδιδάσκων τὸ συμφέρον τοῖς ὄχλοις·

[00044] νουθετεῖ καὶ βαπτιζομένους τελώνας, ἐλέγχει καὶ τὸν Ἡρώδην παρανομοῦντα, δέχεται καὶ μακαριζόμενον τέλος.

[00045] Ποίοις τοίνυν θαυμάσομεν λόγοις;

[00046] ποίαν ἐν τούτοις κινήσομεν γλῶσσαν;

[00047] τί τούτων παραλείπομεν, καὶ τί εἰπεῖν περὶ τούτων ἰσχύσομεν;

[00048] Μέγα γὰρ τῶν ἐγκωμίων τὸ πέλαγος, μέγα καὶ τῶν κατορθωμάτων τὸ πλάτος·

[00049] ἐκπλήττει τοὺς λέγοντας καὶ μόνη τῶν πραγμάτων ἡ πεῖρα.

[00050] Ἀλλ' ἔλθοι καὶ νῦν Ζαχαρίας ὁ τοῦ δικαίου πατὴρ, ὁ καὶ τῇ σιωπῇ κατακριθεὶς, καὶ πάλιν φθεγξάμενος·

[00051] ἐκεῖνος ἡμῖν τὰ ἑαυτοῦ τρανότατα διηγήσεται, πῶς ἐφθέγξατο κατασχεθείσης τῆς γλώσσης, πῶς Ἰωάννης γεννᾶται, καὶ ἡ τοῦ ἀγγέλου ἀπόφασις λύεται, πῶς ἡ τιμωρία ἀπάγεται, καὶ ἡ θεραπεία ἔρχεται.

[00052] Ὁ γὰρ εὐαγγελιστὴς σύντομον τοῦ Ζαχαρίου καὶ Ἐλισάβετ τῆς γυναικὸς αὐτοῦ εἰσάγων τὸ κήρυγμα, [50.790] πρότερον τὰς προσηγορίας αὐτῶν καὶ τὴν φύσιν καὶ τὴν ἀξίαν σημαίνει·

[00053] ἔπειτα δὲ πολιτείας ἔπαινον καὶ εὐποιίας τρόπαιον ἐπάγει, ἐν ᾧ καὶ τῆς σιωπῆς κατάκρισιν δείκνυσι, καὶ τῆς εὐγλωττίας τὴν λύσιν γνωρίζει.

[00054] Καὶ ἄκουε τῶν εὐαγγελικῶν ἐντεῦθεν ῥημάτων·

[00055] Καὶ οὐκ ἦν, φησὶν, αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν.

[00056] Καὶ νῦν οὐ μόνον τὴν τούτων ἀτεκνίαν ὁρῶ, ἀλλὰ καὶ τὴν ἀρχαίαν εἰκόνα τῶν δικαίων ἐννοῶ, Ἀβραὰμ λέγω καὶ Σάῤῥας·

[00057] καὶ μανθάνω καὶ στείρωσιν τίκτουσαν ἑτέραν, καὶ παιδοποιίαν χάριτος καὶ φύσεως, ξένον τεκνογονίας μυστήριον·

[00058] οὗτος γὰρ καὶ τῆς ἐπαγγελίας ὁ τρόπος ταύτης.

[00059] Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος·

[00060] καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν.

[00061] Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος·

[00062] Μὴ φοβοῦ, Ζαχαρία·

[00063] διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην.

[00064] Καλὸν τῆς ἐπαγγελίας τὸ κτῆμα, μέγα τῆς ὀπτασίας τὸ δῶρον, ἀληθῶς Ἀβραμιαῖον τὸ καύχημα·

[00065] ὡς γὰρ ἐκείνῳ ἡ σύλληψις τῆς Σάῤῥας, οὕτω καὶ τούτῳ προκατήγγελται τῆς Ἐλισάβετ ἡ κύησις.

[00066] Ἀλλ' ἡ μὲν πρόῤῥησις ἴση·

[00067] οὐκ ἴση δὲ τῶν πραγμάτων ἡ τάξις.

[00068] Τοῦ γὰρ Ἀβραὰμ μηδὲν ἐκ τῆς ἐπαγγελίας πεπονθότος δεινὸν, ἄφωνος μετὰ τὸν εὐαγγελισμὸν Ζαχαρίας εὑρίσκεται, πιστῷ ἀγγέλῳ μὴ πιστεύσας, καὶ σιωπῇ τὴν τιμωρίαν δεξάμενος.

[00069] Εἶπε δὲ, φησὶ, Ζαχαρίας πρὸς τὸν ἄγγελον·

[00070] Κατὰ τί γνώσομαι τοῦτο;

[00071] ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.

[00072] Τί τοῦτο, Δέσποτα;

[00073] ἐγὼ τὰς ἱκεσίας προσάγω τῷ Θεῷ ὑπὲρ παντὸς τοῦ λαοῦ ἐξιλασκόμενος, καὶ αὐτὸς υἱόν μοι τέξειν εὐαγγελίζῃ;

[00074] Τοῦτο ἀδύνατόν ἐστι.

[00075] Τὸ γὰρ γῆρας ἀσθενὲς, καὶ ἡ φύσις ἄτονος, καὶ ἡ ἐμὴ σύζυγος πέτρα ἐστὶν ἄγονος·

[00076] καὶ πῶς ἔσται μοι τοῦτο;

[00077] Ὅμως εἰ καὶ ὡς εἴρηκας, γενήσεταί μοι υἱὸς, τίς ἔσται ὠφέλεια ἐξ αὐτοῦ τῷ λαῷ;

[00078] Ὁ δὲ ἄγγελος·

[00079] Μεγάλη ἔσται σωτηρία δι' ἐκείνου τῷ λαῷ, καὶ πᾶσι τοῖς ἔθνεσιν·

[00080] αὐτὸς γὰρ ἐπιστρέψει πάντας ἀπὸ τῆς πλάνης, καὶ ὑποδείξει αὐτοῖς τὴν ὁδὸν τῆς σωτηρίας, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων·

[00081] Καὶ γὰρ προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, καὶ προφήτης Ὑψίστου κληθήσεται.

[00082] Οὗτος προπορεύσεται πρὸ προσώπου Κυρίου, λέγων·

[00083] Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[00084] β'.

[00085] Ὁ δὲ Ζαχαρίας ἀνταποκριθεὶς εἶπε πρὸς τὸν ἄγγελον·

[00086] Κατὰ τί γνώσομαι τοῦτο;

[00087] Εἶπε δὲ ὁ ἄγγελος·

[00088] Ἐπειδὴ σημεῖον ἐπιζητεῖς τοῦ τόκου, καὶ τοῖς ἐμοῖς ἀπιστεῖς λόγοις, λάβε ἐνέχυρον ἀσφαλές·

[00089] Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα.

[00090] Καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.

[00091] Ἀνένδοτος ἡ δίκη τῷ πλημμελήσαντι, καὶ ἀνυπέρθετος ἡ τῆς τιμωρίας ὀργή.

[00092] Οὐκ ἔδει γὰρ ἀληθῶς ἀπιστηθῆναι τὸν ἄγγελον, οὐ τὸ θυσιαστήριον εὐκαταφρόνητον σχεῖν, οὐ τὸν καιρὸν τοῦ θυμιάματος καιρὸν ἀπάτης λογίσασθαι·

[00093] ὁ γὰρ ἄγγελος θυμιῶντι αὐτῷ ὤφθη.

[00094] Οὐ τῆς Ἀβραὰμ ἱστορίας ὑπεμνήσθη·

[00095] καὶ τότε γὰρ στείρα καὶ γῆρας παιδοποιεῖ, καὶ εὔπιστα πανταχοῦ τὰ λεγόμενα ἐδείχθη·

[00096] εἶχε γὰρ τῆς τοιαύτης τεκνογονίας τὸ θαῦμα·

[00097] ὅθεν ὁ ἄγγελος πρὸς αὐτὸν, Ἔσῃ, φησὶ, σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς ἐμοῖς λόγοις.

[00098] Ὢ τῆς φιλανθρώπου τιμωρίας, διόρθωσιν μᾶλλον ἐργασαμένης! αὐτὴν γὰρ ὁ ἄγγελος τὴν σφαλεῖσαν φωνὴν σωφρονίζει.

[00099] Ἐξελθὼν γὰρ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς·

[00100] καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ·

[00101] καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός.

[00102] Καλῶς γὰρ καὶ τὸ ἔμενεν ὁ εὐαγγελιστὴς συνεγράψατο·

[00103] περιέμενε γὰρ ἡ σιωπὴ τικτομένην τὴν φωνὴν, ὁ Ζαχαρίας τὸν Ἰωάννην, ὁ πρεσβύτης τὸν παῖδα.

[00104] Ὢ τοῦ θαύματος! [50.791] λόγος ἐπιδημεῖ, καὶ ἡ φωνὴ προκηρύττει·

[00105] Δεσπότης ἔρχεται, καὶ δοῦλος προαποστέλλεται.

[00106] Ἀλλὰ τί νῦν προλαβὼν τὸ τῆς ἐρήμου κήρυγμα λέγω, ἔχων ἑτέραν ξένην τινὰ καὶ μεγάλην τῶν προοιμίων φωνήν;

[00107] Ἔργα γάρ ἐστι πρῶτα, τούτων τῶν ῥημάτων ἀνώτερα.

[00108] Ἔτι γὰρ ὁ Βαπτιστὴς οἰκῶν ἐν τῇ γαστρὶ τῆς μητρὸς, ἔτι τοῖς τῆς φύσεως δεσμοῖς κατεχόμενος, ἔτι τοῖς μητρικοῖς σπαργάνοις ἐνειλη[μμένος], κηρύγματι τὴν τοῦ Δεσπότου βοᾷ παρουσίαν·

[00109] Ἐγένετο γὰρ, φησὶν, ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς.

[00110] Οὔπω γεννᾶται, καὶ τοῖς σκιρτήμασι φθέγγεται·

[00111] οὔπω βοᾷν συγχωρεῖται, καὶ δι' ἔργων ἀκούεται·

[00112] οὔπω μανθάνει τὸν βίον, καὶ τὸν Θεὸν προκηρύττει

.

[00113] Ὄντως ἄλλοι κεκοπιάκασι, καὶ ἡμεῖς εἰς τοὺς κόπους αὐτῶν εἰσεληλύθαμεν·

[00114] προεβόων οἱ προφῆται, καὶ οὐκ ἐσίγων τυπτόμενοι·

[00115] πατριαρχῶν κατάλογος ἐκινδύνευεν·

[00116] ἀντιπαρετάττοντο τύραννοι·

[00117] βασιλεῖς ἐπολέμουν·

[00118] ὠργίζετο δῆμος·

[00119] ὁ κόσμος ὅλος ἀντηγωνίζετο τοῖς τῶν δικαίων ἀγῶσιν·

[00120] ἔνθεν προσήγοντο βήμασι, κἀκεῖθεν κατεξαίοντο ταῖς μάστιξι·

[00121] πανταχόθεν κολαστήρια καὶ στρεβλώσεις.

[00122] Ἀλλ' ἐν τοιαύτῃ κατηφείᾳ βίου τυγχάνοντας λύσιν τοῦ χειμῶνος εὐαγγελιζόμενος ὁ Ἰωάννης, δεδεμένος ἔτι τοῖς σπαργάνοις τῆς φύσεως, τὸ σωτήριον ἔαρ ὑπέδειξεν ἡμῖν·

[00123] καὶ σπεύδων κηρῦξαι τῇ φωνῇ ὃν ἐμήνυσε τοῖς ποσὶν αὐτοῦ, ἐβιάζετο τοὺς ὅρους τῆς φύσεως·

[00124] βραδυτοκοῦσαν γὰρ τὴν Ἐλισάβετ ἐσόβει·

[00125] ἐσκίρτα ὁμοῦ τε χορεύων καὶ δυσχεραίνων ἐφ' οἷς ἐπὶ τῆς νηδύος κεκράτητο·

[00126] τῆς περιόδου τῶν μηνῶν κατεβόα·

[00127] ὡς ἄδικον φυλακὴν τὴν μήτραν ἐτίνασσε, καὶ ἐβόα τοῖς σκιρτήμασι, τοιαῦτα πρὸς τὴν Ἐλισάβετ φθεγγόμενος·

[00128] Ἀδικεῖς, ὦ μῆτερ, βραδυτοκοῦσα, τῆς οἰκουμένης τὴν χαρὰν συνέχουσα, καὶ τὸν πρόδρομον κωλύουσα·

[00129] προφήτην ἐγγάστριον φέρεις, βασιλικὸν στρατιώτην κατέχεις·

[00130] συμποδίζεις τὸν ταχυδρόμον τῆς εὐσεβείας·

[00131] ἀδικεῖς, ὦ μῆτερ·

[00132] οὐκ οἶδας τὸ μέλλον, ἀγνοεῖς τὰ ἐσόμενα.

[00133] Τὸ φῶς παραγίνεται, τὸν ὄρθρον ἀπόλυσον·

[00134] ἀνατελεῖ ὁ ἥλιος, ὁ ἑωσφόρος προλάμψῃ·

[00135] ἐπὶ θύραις ὁ λόγος, καὶ χρεία τῆς φωνῆς, ἐγγὺς ὁ νυμφίος, καὶ δίκαιον ἁπλωθῆναι τὸν θάλαμον ἐν τῷ Ἰορδάνῃ·

[00136] αἵματος χρεία ἐξαγοράζοντος τὸν κόσμον, καὶ χρή με πόῤῥωθεν τὸν ἀμνὸν ὑποδεῖξαι.

[00137] Σπαργανοῦται τὸ γένος ταῖς ἁμαρτίαις, ἦλθεν ὁ λύων τοὺς πεπεδημένους.

[00138] Χρεία κλήτορος, ἵνα πάντες μαθόντες ἀπαντήσωσι τῷ Δεσπότῃ·

[00139] καὶ ἰδοὺ κρατεῖς ἐν μήτρᾳ τὸν πρόδρομον.

[00140] Οὐκοῦν ἐννόησον, μῆτερ, τὸν Ἀδὰμ κρατούμενον ἐν τῷ ᾅδῃ, τῆς Εὔας τοὺς αἰωνίους στεναγμούς·

[00141] ἔτι γὰρ κράζει τὸ αἷμα τοῦ Ἄβελ τὴν κατὰ τοῦ Κάϊν ἐντυγχάνον ἀναίρεσιν·

[00142] συστενάζει αὐτῷ καὶ αὐτὰ τὰ στοιχεῖα.

[00143] Διὰ τοῦτο πάντως ἀπηλλάγης τοῦ πάθους τῆς ἀτεκνίας, ἵνα μηνύσῃ ὁ ἐκ στείρας τὸν ἐκ παρθένου·

[00144] διὰ τοῦτο ἐγὼ ἐν τῇ μήτρᾳ ἐσκίρτησα, ἵνα μηκέτι ὀρχήσηται ὁ διάβολος ἐν τῷ κόσμῳ.

[00145] Τοιαῦτα μὲν οὖν μήπω τεχθεὶς ὁ Ἰωάννης πρὸς τὴν Ἐλισάβετ διὰ τῶν σκιρτημάτων [50.792] ἐσήμανε·

[00146] Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν, καὶ ἐγέννησεν υἱὸν, καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.

[00147] Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν.

[00148] Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν·

[00149] Ἰωάννης κληθήσεται.

[00150] Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό·

[00151] καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων·

[00152] Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ.

[00153] Καὶ ἐθαύμασαν πάντες.

[00154] Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν.

[00155] Ἀμέλει τὸ βρέφος τίκτεται, καὶ ἡ φωνὴ τοῦ πατρὸς ἐπανέρχεται·

[00156] οὕτω γὰρ δείκνυται βοῶσα ἡ Ἰωάννου φωνὴ, ὅτι καὶ αὐτὸ τὸ ὄνομα φωνῆς ἐνέργεια πέφηνεν.

[00157] Ἐγὼ γὰρ, φησὶ, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου·

[00158] εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

[00159] Δεξάμενος γὰρ τὴν ἔλλαμψιν τοῦ ἁγίου Πνεύματος, ὑπεδείκνυε τὸν ποιητὴν τοῖς ποιήμασι, καὶ τὸν πλάστην ἐδακτυλοδείκτει τοῖς πᾶσι μεγαλοφώνως βοῶν·

[00160] Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[00161] Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς·

[00162] Πατέρα ἔχομεν τὸν Ἀβραάμ·

[00163] λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

[00164] Ἀλλὰ τί τῷ θερμῷ ζήλῳ τοῦ βρέφους καὶ ὁ ἡμέτερος σήμερον συνεκτείνεται λόγος;

[00165] Ἐπίσχωμεν, εἰ δοκεῖ, νῦν τέως τὴν γλῶσσαν, ἀρκούντως μετὰ τοῦ βρέφους σκιρτήσασαν.

[00166] Καλὸν γὰρ συμμετρεῖν τῷ καιρῷ τὴν ἐξήγησιν, καὶ ἐντρυφᾷν μὲν τοῖς εἰρημένοις, περιμένειν δὲ καὶ τὴν τῶν καθεξῆς θεωρίαν.

[00167] Οὔτε γὰρ τοὺς ὅρους τῆς φύσεως ὁ Βαπτιστὴς ἐβιάσατο τῷ σκιρτήματι, ἀλλ' ἔμενε καὶ αὐτὸς τὸν προσήκοντα χρόνον, εἰδὼς ὅτι καὶ τοῦτο δι' ἡμᾶς μετ' αὐτὸν πληρώσει ὁ Δεσπότης, βοῶν·

[00168] Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ, κατακαλύψαι θαλάσσας καὶ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασταί μου τὸ ὄνομα, καὶ ἐν παντὶ τόπῳ προσφέρεται τῷ ὀνόματί μου θυσία καθαρά.

[00169] Οὐκ ἔτι γὰρ κατὰ τὸν νόμον εἷς ναός ἐστιν ὁ δεχόμενος τὰς θυσίας, ὁ σεμνυνόμενος ἐπὶ ταύταις·

[00170] ἀλλὰ κατὰ πᾶσαν τὴν οἰκουμένην Ἐκκλησίαι εἰλικρινῶς τῷ Θεῷ δόξαν ἀναπέμπουσιν.

[00171] Ἐκεῖ ἱερεὺς ἦν εἷς τοῦ ἐνιαυτοῦ, θνητὸς, καὶ πάσης ἁμαρτίας πεπληρωμένος·

[00172] νῦν ἐλάβομεν τῶν ἡμετέρων ψυχῶν ἀρχιερέα Ἰησοῦν Χριστὸν, Ὃς ἁμαρτίαν οὐκ ἐποίησε, καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

[00173] Ἔχομεν γὰρ, φησὶν, ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν·

[00174] ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00175] Ἀμήν.

[00176] ἀὰ

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In laudem conceptionis sancti Joannis Baptistae**

**Litterarum Omnium Conspectus: 130 Litterae, quae repetitae sunt in 11,166 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 884 | Α | 0913 | 2 |
| β | 0946 | 78 | Β | 0914 | 3 |
| γ | 0947 | 274 | Γ | 0915 | 1 |
| δ | 0948 | 158 | Δ | 0916 | 0 |
| ε | 0949 | 580 | Ε | 0917 | 7 |
| ζ | 0950 | 22 | Ζ | 0918 | 15 |
| η | 0951 | 187 | Η | 0919 | 0 |
| θ | 0952 | 121 | Θ | 0920 | 13 |
| ι | 0953 | 435 | Ι | 0921 | 0 |
| κ | 0954 | 363 | Κ | 0922 | 27 |
| λ | 0955 | 260 | Λ | 0923 | 0 |
| μ | 0956 | 315 | Μ | 0924 | 8 |
| ν | 0957 | 861 | Ν | 0925 | 0 |
| ξ | 0958 | 36 | Ξ | 0926 | 0 |
| ο | 0959 | 729 | Ο | 0927 | 7 |
| π | 0960 | 314 | Π | 0928 | 11 |

| | | | | | |
|---|---|---|---|---|---|
| ρ | 0961 | 428 | Ρ | 0929 | 0 |
| ς | 0962 | 492 | • | 0930 | 0 |
| σ | 0963 | 403 | Σ | 0931 | 4 |
| τ | 0964 | 968 | Τ | 0932 | 9 |
| υ | 0965 | 188 | Υ | 0933 | 0 |
| φ | 0966 | 80 | Φ | 0934 | 0 |
| χ | 0967 | 94 | Χ | 0935 | 4 |
| ψ | 0968 | 12 | Ψ | 0936 | 0 |
| ω | 0969 | 149 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 4 | | | 0 |
| ῥ | 8165 | 7 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 132 | έ | 8051 | 126 | ή | 8053 | 75 | ί | 8055 | 206 | ό | 8057 | 123 | ύ | 8059 | 92 | ώ | 8061 | 22 |
| ὰ | 8048 | 82 | ὲ | 8050 | 26 | ὴ | 80852 | 71 | ὶ | 8054 | 186 | ὸ | 8056 | 137 | ὺ | 8058 | 22 | ὼ | 8060 | 13 |
| ᾶ | 8118 | 11 | | | 0 | ῆ | 8134 | 77 | ῖ | 8150 | 82 | | | 0 | ῦ | 8166 | 132 | ῶ | 8182 | 81 |
| ἀ | 7936 | 76 | ἐ | 7952 | 155 | ἠ | 7968 | 1 | ἰ | 7984 | 43 | ὀ | 8000 | 7 | ὐ | 8016 | 94 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 12 | ἑ | 7953 | 12 | ἡ | 7969 | 43 | ἱ | 7985 | 15 | ὁ | 8001 | 69 | ὑ | 8017 | 12 | ὡ | 8033 | 6 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 2 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 24 | ἔ | 7956 | 37 | ἤ | 7972 | 3 | ἴ | 7988 | 5 | ὄ | 8004 | 8 | ὔ | 8020 | 6 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 5 | ὅ | 8005 | 10 | ὕ | 8021 | 7 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 8 | ἶ | 7990 | 13 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 2 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 2 | ἷ | 7991 | 4 | | | 0 | ὗ | 8023 | 4 | ὧ | 8039 | 2 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 1 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 11 | | | 0 | ῃ | 8131 | 12 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 16 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 1 |
| ᾷ | 8119 | 4 | | | 0 | ῇ | 8135 | 21 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 45 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In laudem conceptionis sancti Joannis Baptistae**

**Verborum Omnium Conspectus: 1,066Verba, quae repetita sunt in 3,451,287 occasionibus**

---

**ἆ** [00039]
**α** [00002]
**ἀὰ** [00176]
**ἄβατον** [00011]
**Ἄβελ** [00141]
**Ἀβραὰμ** [00056] [00068] [00094]
**Ἀβραάμ** [00162] [00163]
**Ἀβραμιαῖον** [00064]
**ἀγαλλίασιν** [00040]
**ἀγαλλίασις** [00020]
**ἄγγελον** [00015] [00069] [00085] [00092]
**ἄγγελος** [00011] [00017] [00059] [00061] [00078] [00087] [00093] [00097] [00098]
**ἀγγέλου** [00051]
**ἀγγέλῳ** [00068]
**ἀγγέλων** [00028]
**ἅγιά** [00004]
**Ἅγια** [00014]
**Ἅγιον** [00005]
**ἁγίου** [00001] [00022] [00159]
**ἁγίων** [00005] [00014]
**ἀγνοεῖς** [00132]
**ἄγονος** [00075]
**ἀγόνου** [00035]
**ἀγῶσιν** [00119]
**Ἀδὰμ** [00140]
**ἀδέκαστος** [00034]
**ᾄδη** [00140]
**ἀδικεῖς** [00131]
**Ἀδικεῖς** [00128]
**ἄδικον** [00127]
**ἀδύνατόν** [00074]
**ἄδυτόν** [00005]
**ἀεὶ** [00174]
**ἀέρος** [00003]
**ἀθέατον** [00011]
**Αἰγυπτίοις** [00008]
**αἷμα** [00141]
**αἵματος** [00136]
**αἴρων** [00083] [00160]
**αἰσθητοῦ** [00009]
**αἰτήσας** [00151]
**αἰῶνας** [00174]
**αἰωνίους** [00140]
**αἰώνων** [00174]
**ἀκαταλήπτου** [00037]
**ἄκουε** [00054]
**ἀκούεται** [00111]
**ἀληθείᾳ** [00042]
**ἀληθέστατος** [00028]
**ἀληθῶς** [00064] [00092]
**ἀλλ** [00167]
**Ἀλλ** [00050] [00066] [00122]
**ἀλλὰ** [00007] [00056] [00170]
**Ἀλλὰ** [00041] [00106] [00164]
**ἄλλοι** [00113]
**ἁμαρτίαις** [00137]
**ἁμαρτίαν** [00083] [00160] [00172]
**ἁμαρτίας** [00171]
**ἁμαρτωλῶν** [00036]
**Ἀμέλει** [00155]
**Ἀμήν** [00175]
**ἀμνὸν** [00136]
**ἀμνὸς** [00083]
**Ἀμνὸς** [00160]
**ἀμφότεροι** [00055]
**ἂν** [00150]
**ἀναίρεσιν** [00141]
**ἀναπέμπουσιν** [00170]
**ἀνατελεῖ** [00134]
**ἀνατολῶν** [00168]
**Ἀνένδοτος** [00091]
**ἀνεπίβατον** [00005]
**Ἀνεῴχθη** [00154]
**ἀνθ** [00090] [00097]
**ἀνθρώπων** [00080]
**ἀνταποκριθεὶς** [00085]
**ἀντηγωνίζετο** [00119]
**ἀντιπαρετάττοντο** [00116]
**ἀνυπέρθετος** [00091]
**ἀνώτερα** [00107]
**ἀξίαν** [00052]
**ἀξίους** [00161]
**ἀοράτου** [00037]
**ἀπάγεται** [00051]
**ἀπαντήσωσι** [00138]
**ἅπαξ** [00014]

**ἀπάτης** [00092]
**ἀπειθεῖς** [00023]
**ἀπεστάλην** [00089]
**ἀπηλλάγης** [00143]
**ἀπιστεῖς** [00088]
**ἀπιστηθέντος** [00026]
**ἀπιστηθῆναι** [00092]
**ἁπλωθῆναι** [00135]
**ἀποκριθεῖσα** [00148]
**ἀποκρύπτοντα** [00007]
**ἀπόλυσον** [00133]
**ἀποτίσωμεν** [00041]
**ἀπόφασις** [00051]
**ἀρκούντως** [00165]
**ἄρξησθε** [00161]
**ἀρχαίαν** [00056]
**ἀρχηγὸς** [00033]
**ἀρχιερέα** [00172] [00173]
**ἀρχιερεὺς** [00014]
**ἀρχιερέως** [00011]
**ἀσεβείας** [00033]
**ἀσθενὲς** [00075]
**ἀσκούμενος** [00042]
**ἀσπασμὸν** [00109]
**ἀσφαλές** [00088]
**ἀτεκνίαν** [00056]
**ἀτεκνίας** [00143]
**ἄτονος** [00075]
**αὐτὰ** [00142]
**Αὕτη** [00025]
**αὐτῇ** [00146]
**αὐτὴν** [00027] [00098] [00146]
**αὐτῆς** [00071] [00109] [00146] [00146]
**αὐτὸ** [00147] [00156]
**αὐτό** [00150]
**αὐτοῖς** [00055] [00080] [00099] [00101]
**αὐτὸν** [00017] [00043] [00061] [00097] [00167]
**αὐτόν** [00016] [00060]
**αὐτὸς** [00023] [00073] [00080] [00101] [00167]
**αὐτοῦ** [00015] [00019] [00021] [00022] [00041] [00042] [00052] [00063] [00077] [00123] [00146] [00147] [00148] [00150] [00152] [00154] [00154] [00158] [00172]
**αὐτούργημα** [00031]
**αὐτοὺς** [00008]
**αὐτῷ** [00059] [00093] [00142]
**αὐτῶν** [00052] [00055] [00090] [00113]
**ἀφεὶς** [00011]
**ἄφωνος** [00068]
**ἄχρι** [00090] [00097]

**β** [00084]
**βαθυτάτῳ** [00038]
**βαπτίζει** [00042]
**βαπτιζομένους** [00044]
**βαπτίζων** [00042]
**βάπτισμα** [00042]
**Βαπτιστὴς** [00108] [00167]
**βαπτιστὴς** [00028]
**Βαπτιστοῦ** [00001]
**βασιλεία** [00030]
**βασιλεῖς** [00117]
**βασιλικὸν** [00129]
**βατὸν** [00011]
**βεβαιωτὴς** [00034]
**βήμασι** [00120]
**βίον** [00112]
**βίου** [00122]
**βίῳ** [00003]
**βλάστημα** [00031]
**βοᾷ** [00108]
**βοᾷν** [00111]
**βοῶν** [00042] [00159] [00167]
**βοῶντος** [00157]
**βοῶσα** [00156]
**βραδυτοκοῦσα** [00128]
**βραδυτοκοῦσαν** [00124]
**βρέφος** [00109] [00155]
**βρέφους** [00164] [00165]

**Γαβριὴλ** [00089]
**γὰρ** [00014] [00022] [00026] [00030] [00039] [00042] [00048] [00052] [00058] [00065] [00068] [00075] [00080] [00081] [00092] [00093] [00095] [00096] [00098] [00099] [00102] [00103] [00108] [00109] [00124] [00141] [00156] [00157] [00159] [00163] [00166] [00167] [00169] [00173]
**γάρ** [00010] [00071] [00107]
**γαστρὶ** [00039] [00108]
**γαστρὸς** [00028]
**γενέσθαι** [00011]
**γενήσεταί** [00077]
**γένηται** [00090] [00097]
**γεννᾶται** [00051] [00110]
**γεννήσει** [00019] [00021] [00063]
**γενόμενος** [00080]
**γενομένου** [00027]
**γένος** [00137]
**γῆ** [00010] [00168]
**γήρᾳ** [00038]
**γῆρας** [00075] [00095]
**γῆς** [00007]
**γλῶσσα** [00154]
**γλῶσσαν** [00046] [00165]
**γλώσσης** [00051]
**γλῶτταν** [00025]
**γνήσιος** [00032]
**γνῶναι** [00168]
**γνωρίζει** [00053]
**γνώσομαι** [00070] [00086]
**γυναικὸς** [00052]
**γυνή** [00019] [00063] [00071]

**δὲ** [00005] [00011] [00017] [00027] [00053] [00059] [00061] [00067] [00069] [00078] [00085] [00087] [00146] [00150] [00154] [00166]
**δεδεμένος** [00122]
**δεδόξασταί** [00168]
**δέησίς** [00019] [00063]

**δείκνυσι** [00053]
**δείκνυται** [00156]
**δεινὸν** [00068]
**δεκάτῃ** [00012]
**Δεξάμενος** [00159]
**δεξάμενος** [00003] [00068]
**δεξιῶν** [00015] [00059]
**δεσμοῖς** [00108]
**Δέσποτα** [00072]
**Δεσπότῃ** [00138]
**Δεσπότην** [00042] [00042]
**Δεσπότης** [00105] [00167]
**Δεσπότου** [00108]
**δεύτερος** [00028]
**δέχεται** [00044]
**δεχόμενος** [00169]
**δῆμος** [00118]
**δι** [00079] [00111] [00167]
**Διὰ** [00143]
**διὰ** [00144] [00145]
**διάβολος** [00144]
**διανεύων** [00101]
**διατεμὼν** [00011]
**διάφραγμα** [00010]
**διεληλυθότα** [00173]
**διέμενε** [00101]
**διηγήσεται** [00051]
**δίκαιον** [00135]
**δικαίου** [00050]
**δικαίῳ** [00041]
**δικαίων** [00023] [00056] [00119]
**δίκη** [00091]
**διόρθωσιν** [00098]
**διότι** [00019] [00063]
**δογμάτων** [00034]
**δοκεῖ** [00165]
**δόλος** [00172]
**δόξα** [00174]
**δόξαν** [00042] [00170]
**δοῦλος** [00105]
**δυνάμει** [00023] [00081]
**δυνάμενος** [00090] [00097]
**δύναμιν** [00024]
**δύναται** [00163]
**δύο** [00011]
**δυσμῶν** [00168]
**δυσχεραίνων** [00125]
**δῶρον** [00064]

**ἔαρ** [00122]
**ἑαυτοῖς** [00161]
**ἑαυτοῦ** [00051]
**ἑβδόμῳ** [00012]
**ἐβιάζετο** [00123]
**ἐβιάσατο** [00167]
**ἐβόα** [00127]
**ἐγγάστριον** [00129]
**ἐγγὺς** [00135]
**ἐγεῖραι** [00163]
**ἐγένετο** [00147]
**Ἐγένετο** [00109]
**ἐγέννησεν** [00146]
**Ἐγκώμιον** [00001]
**ἐγκωμίων** [00048]
**ἔγραψε** [00151]
**ἐγὼ** [00071] [00073] [00144]
**Ἐγὼ** [00157]
**Ἐγώ** [00089]
**ἐδακτυλοδείκτει** [00159]
**ἔδει** [00092]
**ἐδείχθη** [00039] [00095]
**ἔδησε** [00025] [00026]
**ἐδιδάχθη** [00003]
**ἐζωγράφησεν** [00040]
**ἐθαύμασαν** [00153]
**ἔθνεσιν** [00079]
**εἰ** [00077] [00165]
**εἶδε** [00015]
**Εἶδεν** [00040]
**Εἶδες** [00024]
**εἰδὼς** [00167]
**εἰκόνα** [00009] [00056]
**εἰλικρινῶς** [00170]
**εἰμι** [00071] [00089]
**εἶναι** [00011]
**Εἶπε** [00061] [00069] [00087]
**εἶπε** [00017] [00085]
**εἰπεῖν** [00011] [00047]
**εἶπεν** [00148]
**εἴρηκας** [00077]
**εἰρημένοις** [00166]
**εἰς** [00001] [00008] [00011] [00014] [00090] [00113] [00174]
**εἷς** [00169] [00171]
**εἰσάγων** [00052]
**εἰσεληλύθαμεν** [00113]
**εἰσηγητὴς** [00003] [00032]
**εἰσῄει** [00014]
**εἰσηκούσθη** [00019] [00063]
**εἰσῆλθε** [00015]
**εἶχε** [00096]
**ἐκ** [00015] [00022] [00028] [00028] [00035] [00035] [00059] [00068] [00143] [00143] [00163]
**ἐκάλουν** [00147]
**ἕκαστον** [00004]
**ἐκδιδάσκων** [00043]
**Ἐκεῖ** [00171]
**ἐκεῖνος** [00051]
**ἐκείνου** [00079]
**ἐκείνῳ** [00065]
**ἐκέλευσε** [00011]
**ἐκινδύνευεν** [00115]
**Ἐκκλησίαι** [00170]
**ἐκπλήττει** [00049]
**ἐλάβομεν** [00172]
**ἐλάλει** [00154]

ἐλέγχει [00044]
ἔλεγχος [00033]
ἔλεος [00146]
ἐλθεῖν [00008]
ἔλθοι [00050]
Ἐλισάβετ [00019] [00052] [00055] [00063] [00065] [00109] [00124] [00127] [00145] [00146]
ἔλλαμψιν [00159]
ἐλπίδα [00035]
ἔλυσε [00025] [00027]
ἐμεγάλυνε [00146]
ἔμενε [00167]
ἔμενεν [00102]
ἐμὴ [00075]
ἐμήνυσε [00123]
ἐμήνυσεν [00039]
ἐμοῖς [00088] [00097]
ἐν [00003] [00011] [00014] [00023] [00023] [00028] [00038] [00039] [00040] [00042] [00046] [00053] [00055] [00071] [00081] [00100] [00108] [00109] [00122] [00135] [00139] [00140] [00144] [00144] [00147] [00157] [00161] [00168] [00172]
Ἐν [00012] [00015]
ἐναντίον [00022]
ἔνδον [00011]
ἐνδότατον [00005]
ἐνειλη μμένος [00108]
Ἐνένευον [00150]
ἐνέργεια [00156]
ἐνέχυρον [00088]
ἔνθεν [00120]
ἐνιαυτοῦ [00014] [00171]
ἐννόησον [00140]
ἐννοῶ [00056]
ἐντεῦθεν [00054]
ἐντὸς [00004]
ἐντρυφᾷν [00166]
ἐντυγχάνον [00141]
ἐνώπιον [00089]
ἐξ [00077]
ἐξαγαγόντος [00035]
ἐξαγοράζοντος [00136]
ἐξελαύνων [00028]
Ἐξελθὼν [00099]
ἐξήγησιν [00166]
ἐξιλασκόμενος [00073]
ἐξομολογουμένων [00032]
ἔξω [00011]
ἑορτῇ [00015]
ἐπ [00016] [00060]
ἐπαγγελίαν [00024] [00038]
ἐπαγγελίας [00058] [00064] [00068]
ἐπάγει [00053]
ἔπαινον [00053]
ἐπανέρχεται [00155]
ἐπέγνωσαν [00100]
Ἐπειδὴ [00088]
ἔπειτα [00053]
ἐπέπεσεν [00016] [00060]
ἐπὶ [00007] [00021] [00023] [00039] [00125] [00135] [00147] [00169]
ἐπιδημεῖ [00104]
ἐπιζητεῖς [00088]
ἐπιθυμίαν [00008]
ἐπίστευσας [00090] [00097]
ἐπιστρέψαι [00023]
ἐπιστρέψει [00080]
Ἐπίσχωμεν [00165]
ἐπλήσθη [00146]
ἐποίησε [00172]
ἐποίησεν [00004]
ἐπολέμουν [00117]
ἐπουρανίων [00034]
Ἔργα [00107]
ἐργασαμένης [00098]
ἔργων [00039] [00111]
ἐρημίας [00028]
ἐρήμοις [00042]
ἐρήμου [00106]
ἐρήμῳ [00157]
ἔρχεται [00051] [00105]
ἔση [00090]
Ἔση [00097]
ἐσήμανε [00145]
ἐσίγων [00114]
ἐσκίρτα [00125]
ἐσκίρτησα [00144]
ἐσκίρτησε [00109]
ἐσόβει [00124]
ἐσόμενα [00132]
ἔσται [00020] [00076] [00077] [00079]
Ἔσται [00022]
ἐστὶ [00152]
ἐστι [00010] [00074] [00107]
ἔστι [00013]
ἐστὶν [00075]
ἐστιν [00038] [00169]
ἑστὼς [00059]
ἑστῶτα [00015]
ἐταράχθη [00016] [00060]
ετείλατο [00011]
ἑτέραν [00057] [00106]
ἔτι [00022] [00108] [00108] [00122] [00141] [00169]
Ἔτι [00108]
ἐτίνασσε [00127]
ἑτοιμάσαι [00023]
ἑτοιμάσατε [00157]
Εὐαγγελίζεται [00042]
εὐαγγελίζῃ [00073]
εὐαγγελιζόμενος [00122]
εὐαγγελικῶν [00054]
εὐαγγελίσασθαί [00089]
εὐαγγελισμὸν [00068]
εὐαγγελιστὴς [00028] [00052] [00102]
Εὔας [00140]
εὐγλωττίας [00053]
εὐθείας [00158]
εὐκαταφρόνητον [00092]
εὐλογῶν [00154]
εὔπιστα [00095]
εὐποιίας [00053]

**εὑρέθη** [00172]
**εὑρίσκεται** [00068]
**εὐσεβείας** [00130]
**εὐχῶν** [00031]
**ἐφ** [00125]
**ἐφημερίαν** [00015]
**ἐφθέγξατο** [00051]
**ἔχομεν** [00162]
**Ἔχομεν** [00173]
**ἔχων** [00106]
**ἑώρακεν** [00100]
**ἑωσφόρος** [00134]

**Ζαχαρίᾳ** [00038]
**Ζαχαρία** [00018] [00062]
**Ζαχαρίαν** [00147]
**Ζαχαρίας** [00015] [00016] [00050] [00060] [00068] [00069] [00085] [00103]
**Ζαχαρίου** [00025] [00031] [00052]
**ζήλῳ** [00028] [00164]

**ἡ** [00019] [00019] [00025] [00030] [00049] [00051] [00051] [00051] [00055] [00063] [00063] [00065] [00065] [00066] [00067] [00071] [00075] [00075] [00091] [00091] [00103] [00104] [00109] [00148] [00154] [00155] [00156] [00168]
**ἤγγικε** [00030]
**ἠδύνατο** [00099]
**ἤκουσαν** [00146]
**ἤκουσε** [00109]
**ἦλθεν** [00137]
**ἦλθον** [00147]
**Ἠλίας** [00028]
**ἥλιος** [00134]
**ἡλίου** [00168]
**Ἠλίου** [00023] [00081]
**ἡμᾶς** [00167]
**ἡμεῖς** [00041] [00113]
**ἡμέρᾳ** [00147]
**ἡμέραις** [00055] [00071]
**ἡμέρας** [00090] [00097]
**ἡμέτερος** [00164]
**ἡμετέρων** [00172]
**ἡμῖν** [00051] [00122]
**ἡμῶν** [00173]
**ἣν** [00040]
**ἦν** [00005] [00055] [00055] [00101] [00171]
**ἡνίοχος** [00003]
**Ἡρώδην** [00044]
**ἧς** [00090] [00097]
**ἦσαν** [00055]

**θάλαμον** [00135]
**θαλάσσας** [00168]
**θαλάσσης** [00003]
**θαῦμα** [00096]
**θαυμάσομεν** [00045]
**θαύματος** [00028] [00039] [00104]
**θαυματουργεῖ** [00042]
**θαυματουργὸς** [00028]
**θέλοι** [00150]
**Θεὸν** [00112]
**Θεόν** [00154]
**Θεὸς** [00011] [00163]
**Θεοῦ** [00003] [00003] [00003] [00080] [00083] [00089] [00160]
**θεραπεία** [00051]
**θεράπων** [00003]
**θερμῷ** [00164]
**Θεῷ** [00073] [00170]
**θεωρεῖ** [00042]
**θεωρίαν** [00166]
**θνητὸς** [00171]
**θυμιάματος** [00015] [00059] [00092]
**θυμιᾷν** [00014]
**θυμιᾶσαι** [00015]
**θυμιῶντι** [00093]
**θύραις** [00135]
**θυσία** [00168]
**θυσίας** [00169]
**θυσιαστήριον** [00092]
**θυσιαστηρίου** [00015] [00059]

**Ἴδε** [00083] [00160]
**ἰδοὺ** [00039] [00090] [00139]
**ἰδὼν** [00016] [00060]
**ἱερὰ** [00004]
**ἱερὰς** [00003]
**ἱερεὺς** [00171]
**Ἰησοῦν** [00172] [00173]
**ἱκεσίας** [00073]
**ἵνα** [00138] [00143] [00144]
**Ἰορδανείων** [00036]
**Ἰορδάνῃ** [00135]
**Ἰουδαίων** [00033]
**ἴση** [00066] [00067]
**Ἰσραὴλ** [00003]
**Ἰσραήλ** [00011]
**ἱστορίας** [00094]
**ἰσχυρότερον** [00042]
**ἰσχύσομεν** [00047]
**Ἰωάννην** [00019] [00063] [00103]
**Ἰωάννης** [00028] [00038] [00051] [00122] [00145] [00149] [00152]
**Ἰωάννου** [00001] [00039] [00156]

**καθ** [00003] [00004]
**Καθάπερ** [00010]
**καθαρά** [00168]
**καθάρσεως** [00036]
**καθεξῆς** [00166]
**καθότι** [00055]
**καιρὸν** [00090] [00092] [00092]

**καιρῷ** [00166]
**κἀκεῖθεν** [00120]
**κἀκεῖνον** [00011]
**καλεῖσθαι** [00150]
**καλέσεις** [00019] [00063]
**Καλὸν** [00064] [00166]
**Καλῶς** [00102]
**καρδίας** [00023]
**καρποὺς** [00161]
**κατ** [00038]
**κατακαλύψαι** [00168]
**κατακριθεὶς** [00050]
**κατάκρισιν** [00053]
**κατάλογος** [00115]
**καταπέτασμα** [00011]
**καταπετάσματος** [00011]
**κατασχεθείσης** [00051]
**κατεβόα** [00126]
**κατεξαίοντο** [00120]
**κατεσκεύασε** [00003]
**κατεσκευασμένον** [00023]
**κατέχεις** [00129]
**κατεχόμενος** [00108]
**κατηφείᾳ** [00122]
**κατορθώμασιν** [00041]
**κατορθωμάτων** [00048]
**καύχημα** [00064]
**Κάϊν** [00141]
**κεκοπιάκασι** [00113]
**κεκράτητο** [00125]
**κεφάλαιον** [00003]
**κήρυγμα** [00052] [00106]
**κηρύγματι** [00108]
**κήρυξ** [00028]
**κηρῦξαι** [00123]
**κηρύττει** [00042]
**κινήσομεν** [00046]
**κληθήσεται** [00081] [00149]
**κλήτορος** [00138]
**κοιλίᾳ** [00109]
**κοιλίας** [00022] [00028]
**κολαστήρια** [00121]
**κόπους** [00113]
**κόσμον** [00136]
**κόσμος** [00040] [00119]
**κόσμου** [00009] [00083] [00160]
**κόσμῳ** [00144]
**κράζει** [00141]
**κρατεῖς** [00139]
**κρατούμενον** [00140]
**κριτὴς** [00034]
**κτῆμα** [00064]
**κύησις** [00065]
**κυκλούμενοι** [00041]
**κυοφορούμενος** [00042]
**Κύριον** [00168] [00173]
**Κύριος** [00146]
**Κυρίου** [00022] [00059] [00082] [00157]
**Κυρίῳ** [00023]
**κωλύουσα** [00128]
**κωφός** [00101]

**λάβε** [00088]
**λαλῆσαι** [00089] [00090] [00097] [00099]
**λαλήσας** [00011]
**λαὸν** [00023]
**λαοῦ** [00031] [00034] [00073]
**λαῷ** [00003] [00077] [00079]
**λέγειν** [00161]
**λεγόμενα** [00095]
**λεγόμενον** [00006]
**λέγοντας** [00049]
**λέγω** [00056] [00106] [00163]
**λέγων** [00028] [00082] [00151]
**λίθων** [00163]
**λογίσασθαι** [00092]
**λόγοις** [00045] [00088] [00090] [00097]
**λόγος** [00104] [00135] [00164]
**λύεται** [00051]
**λύσιν** [00053] [00122]
**λύων** [00137]

**μαθόντες** [00138]
**μακαριζόμενον** [00044]
**μᾶλλον** [00098]
**μανθάνει** [00112]
**μανθάνω** [00057]
**μάννα** [00003]
**Μαρίας** [00109]
**μαρτυρεῖ** [00042]
**μάστιξι** [00120]
**με** [00136]
**Μέγα** [00048]
**μέγα** [00048] [00064]
**Μεγάλη** [00079]
**μεγάλην** [00106]
**μεγαλοφώνως** [00159]
**μέγαν** [00173]
**μέγας** [00003] [00022]
**μέλλον** [00132]
**μὲν** [00004] [00011] [00066] [00145] [00166]
**μεσιτεύει** [00042]
**μεσίτης** [00080]
**μέσον** [00010] [00011]
**μετ** [00146] [00167]
**Μετανοεῖτε** [00029]
**μετανοίας** [00032] [00042] [00161]
**μέχρι** [00168]
**μηδὲν** [00068]
**μηδέποτε** [00008]
**μηκέτι** [00144]
**μηνὶ** [00012]

**μηνὸς** [00012]
**μηνύσῃ** [00143]
**μηνῶν** [00126]
**μήπω** [00145]
**μῆτερ** [00128] [00131] [00140]
**μήτηρ** [00148]
**μήτρᾳ** [00139] [00144]
**μήτραν** [00127]
**μητρικοῖς** [00108]
**μητρὸς** [00022] [00108]
**μοι** [00073] [00076] [00077]
**μόνη** [00049]
**μόνον** [00007] [00056]
**μόνος** [00014]
**μόνου** [00011]
**μου** [00071] [00090] [00168] [00168]
**μυστήριον** [00057]
**μυστηρίου** [00037]
**Μωϋσῇ** [00011]
**Μωϋσῆς** [00003]

**ναὸν** [00007] [00009] [00011]
**ναός** [00169]
**ναοὺς** [00007]
**ναῷ** [00100]
**νηδύος** [00125]
**νηδύϊ** [00040]
**νοητοῦ** [00009]
**νομοθέτης** [00003]
**νόμον** [00028] [00169]
**νόμου** [00033]
**νόμῳ** [00042]
**νουθετεῖ** [00044]
**νυμφαγωγός** [00035]
**νυμφίος** [00135]
**νῦν** [00050] [00056] [00106] [00165] [00172] [00174]

**ξένην** [00106]
**ξένον** [00057]

**ὁ** [00003] [00003] [00003] [00003] [00003] [00003] [00003] [00003] [00003] [00011] [00011] [00014] [00015] [00017] [00028] [00028] [00028] [00031] [00032] [00033] [00034] [00035] [00036] [00037] [00038] [00040] [00040] [00050] [00050] [00058] [00061] [00083] [00083] [00087] [00089] [00093] [00097] [00098] [00102] [00103] [00103] [00108] [00119] [00122] [00134] [00134] [00135] [00135] [00137] [00143] [00144] [00145] [00146] [00160] [00160] [00163] [00164] [00167] [00167] [00169] [00169]
**Ὁ** [00052] [00078] [00085]
**ὀγδόῃ** [00147]
**ὁδηγεῖ** [00043]
**ὁδοιπόρος** [00003]
**ὁδὸν** [00080] [00157]
**ὅθεν** [00097]
**οἱ** [00114] [00146] [00146]
**οἶδας** [00132]
**οἰκοδομῆς** [00007]
**οἰκουμένην** [00170]
**οἰκουμένης** [00128]
**οἰκῶν** [00108]
**οἶνον** [00022]
**οἷς** [00125]
**οἵτινες** [00090]
**ὅλος** [00119]
**ὁμοδίαιτος** [00028]
**ὁμολογῶν** [00042]
**ὁμοῦ** [00125]
**Ὅμως** [00077]
**ὂν** [00003] [00123]
**ὄνομα** [00019] [00063] [00152] [00156] [00168]
**ὀνόματί** [00168]
**ὀνόματι** [00147]
**Ὄντως** [00113]
**ὀπτασίαν** [00100]
**ὀπτασίας** [00064]
**ὀργή** [00091]
**ὄρει** [00003]
**ὄρθρον** [00133]
**ὄρους** [00123] [00167]
**ὀρχήσηται** [00144]
**ὁρῶ** [00056]
**Ὅς** [00172]
**ὅσα** [00004]
**ὅτι** [00100] [00146] [00156] [00163] [00167]
**Οὐ** [00094]
**οὐ** [00022] [00056] [00092] [00092]
**οὐδὲ** [00007]
**Οὐκ** [00092] [00169]
**οὐκ** [00055] [00067] [00090] [00097] [00099] [00114] [00132] [00172]
**Οὐκοῦν** [00140]
**οὖν** [00015] [00145] [00161]
**Οὔπω** [00110]
**οὔπω** [00111] [00112]
**οὐρανὸς** [00010]
**οὐρανοὺς** [00173]
**οὐρανῶν** [00030]
**Οὔτε** [00167]
**Οὗτος** [00082]
**οὗτός** [00038]
**οὗτος** [00003] [00058]
**οὕτω** [00011] [00065] [00156]
**οὐχ** [00172]
**οὐχὶ** [00007]
**ὄχλοις** [00043]

**πάθους** [00143]
**παῖδα** [00103]
**παιδίον** [00147]
**παιδοποιεῖ** [00095]
**παιδοποιίαν** [00057]
**πάλιν** [00050]
**παναγίῳ** [00174]
**πάντα** [00004]

**πάντας** [00007] [00080]
**πανταχόθεν** [00041] [00121]
**πανταχοῦ** [00095]
**πάντες** [00138] [00153]
**παντὶ** [00168]
**παντὸς** [00009] [00073]
**πάντως** [00143]
**παρ** [00035]
**παρὰ** [00003] [00008]
**παραγενόμενον** [00042]
**παραγίνεται** [00133]
**παραδείγματι** [00007]
**παραλείπομεν** [00047]
**παρανομοῦντα** [00044]
**παραχρῆμα** [00154]
**παρεστηκὼς** [00089]
**παρθένου** [00143]
**παρουσίαν** [00108]
**παρουσίας** [00037]
**πᾶσα** [00174]
**πᾶσαν** [00170]
**πάσης** [00171]
**πᾶσι** [00011] [00011] [00079] [00159]
**Πατέρα** [00162]
**πατέρων** [00023]
**πατὴρ** [00050]
**Πατρὶ** [00174]
**πατρὶ** [00150]
**πατριαρχῶν** [00115]
**πατρὸς** [00147] [00155]
**πεῖρα** [00049]
**πέλαγος** [00048]
**πεπεδημένους** [00137]
**πεπληρωμένος** [00171]
**πεπονθότος** [00068]
**περὶ** [00013] [00047]
**περιείληπτο** [00004]
**περιέμενε** [00103]
**περιμένειν** [00166]
**περιόδου** [00126]
**περίοικοι** [00146]
**περισχοινίσματι** [00004]
**περιτεμεῖν** [00147]
**πέτρα** [00075]
**πέτρας** [00035]
**πέφηνεν** [00156]
**πίεται** [00022]
**πινακίδιον** [00151]
**πιστεύοντας** [00043]
**πιστεύσας** [00068]
**πιστῷ** [00068]
**πιστῶν** [00032]
**πλάκας** [00003]
**πλάνην** [00028]
**πλάνης** [00080]
**πλάστην** [00159]
**πλάτος** [00048]
**πλημμελήσαντι** [00091]
**πλὴν** [00011]
**πληρωθήσονται** [00090]
**πλήρωμα** [00033]
**πληρώσει** [00167]
**Πλησθήσεται** [00168]
**πλησθήσεται** [00022]
**Πνεύματι** [00042] [00174]
**πνεύματι** [00023] [00081]
**Πνεύματος** [00022] [00028] [00159]
**ποίαν** [00041] [00046]
**ποιεῖ** [00009]
**ποιεῖτε** [00158]
**ποιήμασι** [00159]
**Ποιήσατε** [00161]
**ποιητὴν** [00159]
**ποικιλίᾳ** [00007]
**Ποίοις** [00045]
**πολιτείας** [00053]
**πολλοὶ** [00021]
**πολὺ** [00168]
**πολυτελείᾳ** [00007]
**πόῤῥωθεν** [00136]
**ποσὶν** [00040] [00123]
**πραγμάτων** [00049] [00067]
**πρέπει** [00174]
**πρεσβευτής** [00036]
**πρεσβύτης** [00071] [00103]
**πρὸ** [00082]
**προαγόμενος** [00042]
**προαποστέλλεται** [00105]
**προβεβηκότες** [00055]
**προβεβηκυῖα** [00071]
**προγνώστης** [00037]
**πρόδρομον** [00128] [00139]
**πρόδρομος** [00028] [00040]
**Προδρόμου** [00001]
**προεβόων** [00114]
**προκατήγγελται** [00065]
**προκηρύττει** [00104] [00112]
**προκόπτει** [00042]
**προλαβὼν** [00106]
**προλάμψῃ** [00134]
**προοιμίων** [00106]
**προπορεύσεται** [00023] [00081] [00082]
**πρόῤῥησις** [00066]
**πρὸς** [00009] [00017] [00043] [00061] [00069] [00085] [00089] [00097] [00127] [00145]
**προσάγω** [00073]
**προσήγοντο** [00120]
**προσηγορίας** [00052]
**προσήκοντα** [00167]
**προσκύνησις** [00174]
**προσφέρεται** [00168]
**προσώπου** [00082]
**πρότερον** [00052]
**προφῆται** [00114]
**προφήταις** [00028]
**προφητεία** [00025]
**προφητευθέντα** [00042]

**προφήτην** [00129]
**προφήτης** [00037] [00081]
**προφητικὴν** [00024]
**προφήτου** [00001]
**προφητῶν** [00003]
**πρῶτα** [00107]
**πρῶτος** [00003]
**πταισμάτων** [00034]
**πῶς** [00051] [00051] [00051] [00076]

**ῥείθρων** [00036]
**ῥημάτων** [00054] [00107]

**Σάῤῥας** [00056] [00065]
**σὲ** [00089]
**σεμνυνόμενος** [00169]
**σημαίνει** [00052]
**σημεῖον** [00088]
**σήμερον** [00164]
**σίκερα** [00022]
**σιωπὴ** [00103]
**σιωπῇ** [00050] [00068]
**σιωπῆς** [00053]
**σιωπῶν** [00090] [00097]
**σκηνὴν** [00003]
**σκηνῆς** [00007]
**σκηνοπηγίᾳ** [00014]
**σκηνοπηγίας** [00013] [00015]
**σκιρτήμασι** [00110] [00127]
**σκιρτήματα** [00039]
**σκιρτήματι** [00167]
**σκιρτημάτων** [00145]
**σκιρτήσασαν** [00165]
**σοι** [00019] [00020] [00063] [00089]
**Σολομὼν** [00007]
**σου** [00019] [00019] [00063] [00063]
**σπαργάνοις** [00108] [00122]
**Σπαργανοῦται** [00137]
**σπεύδων** [00123]
**στείρα** [00055] [00095]
**στείρας** [00031] [00035] [00143]
**στείρωσιν** [00057]
**στεναγμούς** [00140]
**στερέωμα** [00010]
**στοιχεῖα** [00142]
**στόμα** [00154]
**στόματι** [00172]
**στρατιώτην** [00129]
**στρεβλώσεις** [00121]
**συγγενεῖς** [00146]
**συγχωρεῖται** [00111]
**σύζυγος** [00075]
**σύλληψιν** [00001]
**σύλληψις** [00065]
**συμμετρεῖν** [00166]
**συμποδίζεις** [00130]
**συμφέρον** [00043]
**συμφερόντων** [00003]
**σὺν** [00174]
**συνεγράψατο** [00102]
**συνεκτείνεται** [00164]
**συνέχαιρον** [00146]
**συνέχουσα** [00128]
**συνεχώρησεν** [00011]
**συνήγορος** [00032]
**σύντομον** [00052]
**σύντροφος** [00028]
**συστενάζει** [00142]
**σφαλεῖσαν** [00098]
**σχεῖν** [00092]
**σχήματι** [00007]
**σωτηρία** [00079]
**σωτηρίας** [00080]
**σωτήριον** [00122]
**σωφρονίζει** [00098]

**τὰ** [00004] [00014] [00039] [00051] [00095] [00132] [00142]
**ταῖς** [00042] [00055] [00071] [00120] [00137]
**τάξις** [00067]
**ταπεινώσατε** [00012]
**τὰς** [00003] [00003] [00012] [00052] [00073] [00158] [00169]
**ταῦτα** [00089] [00090] [00097]
**ταύταις** [00169]
**ταύτῃ** [00015]
**ταύτης** [00058]
**ταχυδρόμον** [00130]
**τε** [00004] [00005] [00009] [00125]
**τεκεῖν** [00146]
**τέκνα** [00023] [00163]
**τεκνογονίας** [00057] [00096]
**τέκνον** [00055]
**τέλειον** [00031]
**τέλος** [00044]
**τελώνας** [00044]
**τέξειν** [00073]
**τεχθεὶς** [00035] [00038] [00145]
**τέχνης** [00007]
**τέως** [00165]
**Τῇ** [00146]
**τῇ** [00007] [00007] [00014] [00015] [00021] [00040] [00042] [00050] [00108] [00109] [00123] [00144] [00147] [00157]
**τηλικοῦτος** [00003]
**τὴν** [00001] [00009] [00015] [00025] [00028] [00040] [00041] [00042] [00042] [00052] [00052] [00053] [00056] [00056] [00068] [00080] [00083] [00098] [00103] [00108] [00124] [00127] [00127] [00128] [00141] [00145] [00157] [00159] [00160] [00165] [00166] [00166] [00170]
**τῆς** [00003] [00007] [00007] [00007] [00007] [00013] [00015] [00028] [00031] [00032] [00033] [00033] [00035] [00036] [00037] [00042] [00051] [00052] [00053] [00053] [00058] [00064] [00064] [00065] [00065] [00068] [00080] [00080] [00091] [00094] [00096] [00098] [00106] [00108] [00108] [00109] [00122] [00123] [00125] [00126] [00128] [00130] [00135] [00140] [00143] [00161] [00167]
**Τί** [00072]
**τί** [00047] [00047] [00070] [00086] [00106] [00150] [00164]
**τίκτεται** [00155]
**τικτομένην** [00103]
**τικτόμενος** [00042]

**τίκτουσαν** [00057]
**τιμὴ** [00174]
**τιμὴν** [00041]
**τιμωρία** [00051]
**τιμωρίαν** [00068]
**τιμωρίας** [00091] [00098]
**τινὰ** [00106]
**τίς** [00077]
**Τὸ** [00075] [00133]
**τὸ** [00003] [00004] [00005] [00010] [00011] [00011] [00019] [00031] [00043] [00048] [00048] [00052] [00063] [00064] [00064] [00064] [00092] [00096] [00102] [00106] [00109] [00122] [00132] [00137] [00141] [00146] [00147] [00150] [00152] [00154] [00155] [00156] [00168]
**Τοιαῦτα** [00145]
**τοιαῦτα** [00127]
**τοιαύτη** [00122]
**τοιαύτης** [00096]
**τοίνυν** [00045]
**τοῖς** [00011] [00040] [00041] [00043] [00079] [00088] [00090] [00097] [00108] [00108] [00110] [00119] [00122] [00123] [00127] [00159] [00159] [00166]
**τόκου** [00026] [00027] [00088]
**τὸν** [00009] [00011] [00015] [00028] [00042] [00042] [00044] [00068] [00069] [00085] [00090] [00092] [00092] [00103] [00103] [00109] [00112] [00112] [00128] [00130] [00133] [00135] [00136] [00136] [00139] [00140] [00143] [00154] [00159] [00159] [00162] [00167] [00168] [00169] [00173]
**τόπῳ** [00168]
**τοσοῦτος** [00003]
**τότε** [00014] [00095]
**Τοῦ** [00068]
**τοῦ** [00001] [00001] [00003] [00003] [00003] [00003] [00009] [00009] [00009] [00011] [00011] [00012] [00014] [00015] [00015] [00025] [00026] [00027] [00028] [00028] [00031] [00031] [00033] [00034] [00035] [00037] [00037] [00039] [00039] [00050] [00051] [00052] [00059] [00059] [00073] [00083] [00083] [00088] [00089] [00092] [00104] [00108] [00122] [00141] [00141] [00143] [00146] [00147] [00155] [00159] [00160] [00160] [00164] [00165] [00168] [00171]
**τοὺς** [00007] [00043] [00049] [00113] [00123] [00137] [00140] [00167] [00173] [00174]
**τοῦτ** [00013]
**Τοῦτο** [00074]
**τοῦτο** [00010] [00070] [00072] [00076] [00086] [00143] [00144] [00167]
**τούτοις** [00005] [00046]
**τοῦτον** [00011]
**Τούτῳ** [00007]
**τούτῳ** [00065]
**τούτων** [00047] [00047] [00056] [00107] [00163]
**τρανότατα** [00051]
**τραπεζοποιὸς** [00003]
**τρέφεται** [00042]
**Τριάδος** [00042]
**τρίβους** [00158]
**τρόπαιον** [00053]
**τρόπος** [00058]
**τυγχάνοντας** [00122]
**τύπον** [00003]
**τυπτόμενοι** [00114]
**τύραννοι** [00116]
**τῷ** [00003] [00003] [00003] [00004] [00007] [00007] [00011] [00012] [00012] [00028] [00038] [00041] [00042] [00073] [00077] [00079] [00091] [00100] [00135] [00138] [00140] [00144] [00147] [00150] [00163] [00164] [00166] [00167] [00168] [00170] [00172] [00174] [00174]
**τῶν** [00003] [00003] [00008] [00014] [00028] [00030] [00031] [00033] [00034] [00034] [00036] [00036] [00039] [00048] [00048] [00049] [00054] [00056] [00067] [00106] [00107] [00119] [00126] [00145] [00163] [00166] [00172] [00174]

**ὕδωρ** [00035] [00168]
**υἱοῖς** [00011]
**υἱὸν** [00146]
**υἱόν** [00019] [00063] [00073]
**υἱὸς** [00031] [00077]
**ὕλης** [00007]
**ὑμῖν** [00163]
**ὑμῶν** [00012]
**ὑπεδείκνυε** [00159]
**ὑπέδειξεν** [00122]
**ὑπεμνήσθη** [00094]
**ὑπὲρ** [00073]
**ὑπερβαίνουσαν** [00024]
**ὑποδείκνυσι** [00042]
**ὑποδεῖξαι** [00136]
**ὑποδείξει** [00080]
**Ὑψίστου** [00081]

**φέρεις** [00129]
**φησὶ** [00069] [00097] [00157]
**φησὶν** [00055] [00109] [00173]
**φθέγγεται** [00110]
**φθεγγόμενος** [00127]
**φθεγξάμενος** [00050]
**φιλανθρώπου** [00098]
**φόβος** [00016] [00060]
**φοβοῦ** [00018] [00062]
**φρονήσει** [00023]
**φυλακὴν** [00127]
**φύσεως** [00057] [00108] [00122] [00123] [00167]
**φύσιν** [00052]
**φύσις** [00075]
**φωνὴ** [00104] [00155] [00156] [00157]
**φωνῇ** [00123]
**φωνὴν** [00098] [00103]
**φωνήν** [00106]
**φωνῆς** [00135] [00156]
**φῶς** [00133]

**χαλιναγωγὸς** [00036]
**χαρὰ** [00020]
**χαρὰν** [00128]
**χαρήσονται** [00021]
**χάριν** [00042]
**χάριτι** [00035] [00042]
**χάριτος** [00033] [00057]
**χειμῶνος** [00122]
**χορεύων** [00125]
**Χρεία** [00138]
**χρεία** [00135] [00136]
**χρή** [00136]
**Χριστὸν** [00172]
**Χριστόν** [00173]
**Χριστοῦ** [00035]
**χρόνον** [00167]
**χρόνος** [00146]

**ψυχὰς** [00012]
**ψυχῶν** [00172]

**ὧ** [00128] [00131]
**Ὢ** [00028] [00039] [00098] [00104]
**ᾧ** [00053] [00174]
**ᾠκοδόμησε** [00007]
**ὧν** [00090] [00097]
**ὠργίζετο** [00118]
**ὡς** [00011] [00065] [00077] [00109] [00127] [00168]
**ὥστε** [00008]
**ὠφέλεια** [00077]
**ὤφθη** [00093]